06 Ὀκτωβρίου.
† Θωμᾶ (τοῦ καὶ Διδύμου) ἀποστόλου ἐκ τῶν ιβ΄.
† Ἐρωτηίδος μάρτυρος. Ἦχος πλ. δ΄.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ΄ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρὸς καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος πλ. α΄ Νη




## ΕΤΕΡΑ.




4. Κυ ρι ε ε ε λε η σο ο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

Εἰς τό, Κύριε ἐκέκραξα,
ψάλλομεν Στιχηρὰ στ΄.
Ψαλμὸς ρμ΄ (140)

Ἦχος Πα




χη η η μου ως ϑυ μι α α α μα α
ε νω πι ο ο ο ον σου ε πα αρ σι ι ις
τω ων χει ει ει ρω ω ω ω ων μου ϑυ σι
ι α ε ε ε σπε ρι ι ι νη η ει σα α
α α κου σο ον μου ου Κυ υ ρι ι ε ε
Θου Κυ υ ρι ε φυ λα κην τω στο
μα τι μου και ϑυ υ ραν πε ρι ο χης πε
ρι τα χει λη μου
Μη εκ κλι νης την καρ δι αν μου εις λο
γους πο νη ρι ας του προ φα σι ζε σϑαι
προ φα σεις εν α μαρ τι αις

Συν αν θρω ποις ερ γα ζο με ε νοις την
α νο μι αν και ου μη συν δυ α σω με
τα των ε κλεκ των αυ των

Παι δευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε ε λαι ον δε α μαρ τω λου
μη λι πα να τω την κε φα λην μου

Ο τι ε τι και η προ σευ χη μου εν
ταις ευ δο κι αις αυ των κα τε πο θη σαν ε
χο με να πε τρας οι κρι ται αυ των

Α κου σον ται τα ρη μα τα μου ο τι
η δυν θη σαν ω σει πα χος γης ερ ρα γη

ε πι της γης δι ε σκορ πι σθη τα ο στα αυ

των πα ρα τον Α δη

Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ

μοι μου ε πι σοι οι ηλ πι σα μη αν τα

νε λεις την ψυ χην μου

Φυ λα ξο ον με α πο πα γι δος ης

συν ε στη σαν το μοι και α πο σκαν δα λων

των ερ γα ζο με νων την α νο μι αν

Πε σουν ται εν αμ φι βλη στρω αυ

των οι α μα ρτω λοι κα τα μο νας ει μι ε

γω ε ως αν πα ρελ θω

Φω νη μου προς Κυ ρι ον ε κε κρα ξα

φω νη μου προς Κυ υ ρι ον ε δε η

θην

Εκ χε ω ε νω πι ον αυ του την δε

η σιν μου την θλι ψιν μου ε νω πι ον αυ του

α παγ γε λω

Εν τω εκ λει πει ειν εξ ε μου το πνευ μα

μου και συ εγ νως τας τρι βους μου

Εν ο δω ταυ τη η ε πο ρευ ο

μην ε κρυ ψαν πα γι δα μοι

Κα τε νο ουν εις τα δε ξι α α


και ε πε βλε πον και ουκ η ην ο ε πι
γι νω σκων με
Α πω λε το φυ γη η απ ε μου και ουκ
ε ε στιν ο εκ ζη τω ων την ψυ χην μου
Ε κε κρα ξα προς σε Κυ υ ρι ε ει
πα Συ ει η ελ πις μου με ρι ις μου η
εν γη ζων των
Προ σχες προς την δε η σιν μου
ο ο τι ε τα πει νω θην σφο δρα
Ρυ σαι με εκ των κα τα δι ω κον των
με ο τι ε κρα ται ω θη σαν υ περ ε με


Β
Ε ξα γα γε εκ φυ λα κης την ψυ χην
μου του ε ξο μο λο γη σα σθαι τω ο
νο μα τι σου
Β
Ε με υ πο με νου σι δι και οι ε ως
ου αν τα πο δως μοι
Μ Β
Εκ βα θε ων ε κε κρα ξα σοι Κυ ρι
ε ε Κυ ρι ε ει σα κου σον της φω νης
μου
Δ Β
Γε νη θη η τω τα ω τα σου προ σε χον
τα εις την φω νη ην της δε η σε ως μου

## 06-10- ΕΣΠΕΡΙΝΟΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ.

### Στιχηρὰ τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου.

### Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στίχος. Ε αν α νο μι ας πα ρα τη ρη σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε ται ο τι πα ρα σοι ο ι λα σμος εστιν

Τῆς πλευρᾶς ἐφαψάμενος, τοῦ Δεσπότου Πανόλβιε, τῶν καλῶν κατείληφας τὸ ἀκρότατον· ὥσπερ γὰρ σπόγγος τὰ νάματα, ἐκεῖθεν ἐξήντλησας, τὴν πηγὴν τῶν ἀγαθῶν, καὶ ζωὴν τὴν αἰώνιον, καὶ ἐπότισας, χερσωθείσας καρδίας ἀγνωσίᾳ, τοῦ Θεοῦ θεογνωσίας, ἀναπηγάζων τὰ δόγματα.

Στίχος. Ε νε κεν του ο νο μα τος σου υ πε μει να σε Κυ ρι ε υ πε μει νεν η ψυ χη μου εις τον λο γον σου

ηλ πι σεν η ψυ χη η μου ε πι ι τον Κυ ρι ον

Τῆς πλευρᾶς ἐφαψάμενος, τοῦ Δεσπότου Πανόλβιε, τῶν καλῶν κατείληφας τὸ ἀκρότατον· ὥσπερ γὰρ σπόγγος τὰ νάματα, ἐκεῖθεν ἐξήντλησας, τὴν πηγὴν τῶν ἀγαθῶν, καὶ ζωὴν τὴν αἰώνιον, καὶ ἐπότισας, χερσωθείσας καρδίας ἀγνωσίᾳ, τοῦ Θεοῦ θεογνωσίας, ἀναπηγάζων τὰ δόγματα.

Στίχος. Α πο φυ λα κης πρω ι ας μεχρι νυκτος α πο φυ λα κης πρω ι ας ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι ον

Τῇ πιστῇ ἀπιστίᾳ σου, τοὺς πιστοὺς ἐβεβαίωσας, ὡς Θεὸν καὶ Κύριον πάσης κτίσεως, θεολογεῖν ἐπαρξάμενος, τὸν σάρκα φορέσαντα, δι᾽ ἡμᾶς τοὺς ἐπὶ γῆς, καὶ Σταυρόν τε καὶ θάνατον ὑπομείναντα, καὶ τὰς τρήσεις

τῶν ἥλων, καὶ τῇ λόγχῃ, τὴν πλευρὰν διανυγέντα, ἐξ ἧς ζωὴν ἀρυόμεθα.

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω
το ε λε ος και πολ λη παρ αυ τω λυ
τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα
ηλ εκ πα σων των α νο μι ων αυ
του

Τῇ πιστῇ ἀπιστίᾳ σου, τοὺς πιστοὺς ἐβεβαίωσας, ὡς Θεὸν καὶ Κύριον πάσης κτίσεως, θεολογεῖν ἐπαρξάμενος, τὸν σάρκα φορέσαντα, δι' ἡμᾶς τοὺς ἐπὶ γῆς, καὶ Σταυρόν τε καὶ θάνατον ὑπομείναντα, καὶ τὰς τρήσεις τῶν ἥλων, καὶ τῇ λόγχῃ, τὴν πλευρὰν διανυγέντα, ἐξ ἧς ζωὴν ἀρυόμεθα.

Στίχος. Αι νει τε τον Κυ ρι ον παν
τα τα ε θνη ε παι νε σα τε αυ τον

παν τες οι λα οι

Ὁ Θωμᾶς ὁ θαυμάσιος, τὴν πηγήν ἀνεστόμωσε, τῶν δογμάτων Δέσποτα τοῖς θεόφροσι· τὴν γὰρ πλευρὰν ψηλαφήσας σου, διπλῆν τὴν ἐνέργειαν, ταῖς οὐσίαις ταῖς διτταῖς, καταλλήλως μεμύηται, καὶ ἐβόησε· Σὺ Θεός μου ὑπάρχεις καὶ Δεσπότης, σὺ καὶ Κύριος τῆς δόξης, ὁ δι᾽ ἐμὲ σάρξ γενόμενος.

Στίχος. Ο τι ε κρα ται ω θη το

ε λε ος αυ του εφ η μας και η α

λη θει α του Κυ ρι ου με νει εις τον αι

ω να

Ὁ Θωμᾶς ὁ θαυμάσιος, τὴν πηγήν ἀνεστόμωσε, τῶν δογμάτων Δέσποτα τοῖς θεόφροσι· τὴν γὰρ πλευρὰν ψηλαφήσας σου, διπλῆν τὴν ἐνέργειαν, ταῖς οὐσίαις ταῖς διτταῖς, καταλλήλως μεμύηται, καὶ ἐβόησε· Σὺ Θεός μου ὑπάρχεις καὶ Δεσπότης, σὺ καὶ Κύριος τῆς δόξης, ὁ δι᾽ ἐμὲ σάρξ γενόμενος.

# 06-10- ΕΣΠΕΡΙΝΟΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ.

Ἦχος πλ. α' Πα.



χα ας ε ζω ω γρη η η σας ο ο θεν τη

σα γη η η νη των ων σω ων δο ογ μα α α των

πα σαν ε φω ω τι ι σα ας την οι οι κου με

ε ε ε νην και τω φω τι της γνω σε ε ως

τας των Ιν δων ε ζο φω με ε ε να

ας ψυ υ υ χας κα τε λα α αμ πρυ υ υ

υ νας δι ο της δο ξης τη λαυ γως Χρι στου

κα α τα α τρυ υ υ υ φων α αυ τον ι κε

ε ε ε τε ε ε ευ ε ε λε η θη η ναι

τα ας ψυ χα α ας η η η η μων

Και αι νυ υ υ υν και α α ει και εις τους

αι αι ω ω ω ω νας των αι αι ω ω νων

α α α μην

Τις μη μα κα ρι σει σε Πα να γι ι

α α α Πα α αρ θε ε ε ε νε τις μη α

νυ υ μνη σει ει ει σου τον α λο ο ο

ο χε ευ το ον το ο ο ο ο κον ο γαρ

α χρο νως εκ Πα τρος εκ λα αμ ψας Υι

ο ος μο ο νο ο ο γε νης ο αυ τος εκ

σου ου της α γνη η η ης προ ο ο η η

η ηλ θεν α αφρα α στως σαρ κω ω ω θεις


φυ υ σει Θε ο ο ο ος υ πα α αρ χων
και φυ σει γε νο ο με ε ε ε νος α αν
θρω ω ω πος δι ι ι ι ι η η η η μας
ουκ εις δυ α α α δα προ ο σω ω ω πων
τε μνο ο ο ο ο με ε ε ε νος αλλ εν
δυ α α δι φυ υ υ σε ε ε ων α συγ χυ
τως γνω ω ω ρι ζο ο ο με ε ε ε νος
αυ τον ι ι κε ε τε τε ευ ε σε ε
μνη η η παμ μα κα α α α α α ρι παμ
μα κα α ρι ι στε ε ε λε η θη η η η
η η η ναι τα ας ψυ χα α α ας η


η η η μω ω ω ω ων

# 06-10- ΕΣΠΕΡΙΝΟΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ.

## Εἴσοδος, Φῶς ἱλαρόν

### Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον.
## Τῇ Κυριακῇ ἑσπέρας.

### Ἦχος πλ. δ΄ Νη




Στίχ. **Οἱ** ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον.



Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ΄.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου

εν τω κε κρα γε ε ναι με προς αυ το

ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου

εν τω κε κρα γε ναι με προς αυ το ο

ον

Τῇ Τρίτῃ ἑσπέρας. Προκείμενον.

Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω

ξει με πα σας τας η με ρας της ζω ης μου

(Δὶς)

Στίχ: **Κ**ύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα

τα δι ω ξει με πα σας τας η με ρας της ζω

η ης μου ου ου

Τῇ Τετάρτῃ ἑσπέρας.

Προκείμενον.

Ἦχος λ̓ πα Κε




Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ρήματα τοῦ στόματός μου.

Τὸ τρίτον.



Τῇ Πέμπτῃ ἑσπέρας.

Προκείμενον.

Ἦχος λ̣ π Βου




Στίχ. Ἦρα τούς ὀφθαλμούς μου εἰς τά ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον.



## Τῇ Παρασκευῇ ἑσπέρας.

## Προκείμενον.

### Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καί ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμέ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε ε

Εἶτα τὰ Ἀναγνώσματα.

Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 21-24, δ΄ 1-6).

Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν. Καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' Αὐτοῦ, ὅτι τὰς ἐντολὰς Αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ Αὐτοῦ, ἵνα πιστεύωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ Αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν· καὶ ὁ τηρῶν τὰς ἐντολὰς Αὐτοῦ, ἐν Αὐτῷ μένει καὶ Αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν. Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. Ἐν τούτῳ γινώσκεται τὸ Πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα, ὃ μή ὁμολογεῖ Ἰησοῦν Χριστόν, ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι. Καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται· καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἤ ὁ ἐν τῷ κόσμῳ. Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί, διὰ τοῦτο ἐκ

τοῦ κόσμου λαλοῦσι καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν. Ὁ γινώσκων τὸν Θεόν, ἀκούει ἡμῶν· ὅς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν.

Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα (Κεφ. δ΄ 11-16).

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη Αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν Αὐτῷ μένομεν καὶ Αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος Αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ.

Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα (Κεφ. δ΄ 20-21, ε΄ 1-5).

Ἀγαπητοί, ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεόν καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστί· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεόν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾶν; Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' Αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ τοῦ Θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ Αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς Αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς Αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ Αὐτοῦ βαρεῖαι οὐκ εἰσίν· ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ, νικᾷ τὸν κόσμον. Καὶ αὕτη ἐστὶν ἡ νίκη, ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰμὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, ἐλέησον. (ἐκ τρίτου)

Κύριε παντοκράτορ, ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (ἐκ τρίτου)

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον. (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον. (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Κύριε, ἐλέησον. (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου Ναοῦ τούτου καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον. (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον. (ἅπαξ)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ

δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου, Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοὶ, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Τὸν ἀποστολὴν παρὰ Κυρίου λαβόντα, καὶ ἐξελθόντα εἰς τὰ ἔθνη Ἀπόστολον, εὐλαβῶς εὐφημήσωμεν κράζοντες· χαίροις, ὁ κήρυξ τῆς ἀληθείας, καὶ καθαιρέτης τοῦ ψεύδους οὐράνιος· χαίροις, ὁ τοῖς σκότει καὶ σκιᾷ καθημένοις, Εὐαγγελίου ἐξανατείλας τὸ φῶς· χαίροις, ὁ ἐν τῷ ὅπλῳ τοῦ Σταυροῦ, τοῦ σκολιοῦ πολεμήτορος, κατατρώσας πᾶσαν ἐπίνοιαν. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν, ὑπὲρ ἡμῶν Αὐτὸν καθικέτευε, Θωμᾶ μακαριώτατε.

Ὁ αὐτός.

Ὡραιώθησαν οἱ πόδες σου ψαλμικῶς, Θωμᾶ θεομακάριστε· τὴν ὑπερέχουσαν γὰρ πάντα νοῦν εἰρήνην, Χριστὸν τὸν Θεόν σου καὶ Κύριον, εὐηγγελίσω τοῖς ἀγνοοῦσιν ἔθνεσι· διὸ καὶ Αὐτοῦ ἀκριβὴς μιμητής, διὰ μαρτυρίου ἀγωνίσματος ἐγένου, ἐν Αὐτῷ ἀνδρείως θριαμβεύσας, τοῦ αἰῶνος τούτου τὸν ἄρχοντα· ὅθεν παῤῥησίαν ἔχων πολλήν, ὡς Μάρτυς καὶ Ἀπόστολος, ὑπὲρ ἡμῶν ἐκτενῶς καθικέτευε, ἵνα τύχωμεν διὰ σοῦ, τῶν αἰωνίων ἀγαθῶν τῆς ἀπολαύσεως.

Ἦχος β΄.

Χριστῷ ἠκολούθησας Θωμᾶ Ἀπόστολε, καὶ τοῦ κόσμου κατεφρόνησας καὶ τὰ Τούτου διδάγματα, ἐν τῷ ταμείῳ σου κρύψας, ἀνεδείχθης Ἀπόστολος· ὅθεν γενόμενος ἐν τοῖς ἔθνεσι, τὰς τούτων ὑπὸ τῆς πλάνης, καὶ τῶν παθῶν σκοτισθείσας ψυχάς, ἐντολαῖς τοῦ Σωτῆρος ἐφώτισας, πιστεύειν εἰς Τριάδα ὁμοούσιον.

Ὁ αὐτός.

Τὴν πανήγυριν σήμερον, Θωμᾶ τοῦ εὐκλεοῦς Ἀποστόλου, δεῦτε πιστοὶ τιμήσωμεν. Οὗτος γὰρ δακτύλῳ ψηλαφήσας, τὴν λογχευθεῖσαν τοῦ Δεσπότου πλευράν, καὶ ἐξ αὐτῆς ἀπαντλήσας, τῆς ἀληθοῦς θεογνωσίας τὸ χάρισμα, ἐκ νυκτὸς πλάνης τῶν εἰδώλων, πρὸς φωτισμὸν ἐπανήγαγε ἔθνη, φωτίσας πλείστους τῇ ἐπιγνώσει Χριστοῦ, τοῦ ἀναστάντος ἐκ τάφου, καὶ σώσαντος τὸ γένος ἡμῶν.

Ἦχος γ΄.

Δεῦτε πάντες οἱ πιστοί, χορείαν εὐσεβῆ συγκροτήσαντες, Θωμᾶν τὸν Ἀπόστολον, ἀξιοχρέως μακαρίσωμεν, ὅτι αὐτοῦ ὁ φθόγγος εἰς τὸν κόσμον ἐξήστραψε, καὶ τὸ ἀπήχημα τῶν ῥημάτων αὐτοῦ, εἰς τὰ πέρατα τῆς γῆς

διελήλυθε, διδάσκων πάντας προσκυνεῖν ἀληθῶς, τὴν ἐν τρισὶ προσώποις μίαν Θεότητα. Αὐτήκοος γὰρ καὶ αὐτόπτης, τοῦ Διδασκάλου γενόμενος Χριστοῦ, ὑπὲρ τοῦ Εὐαγγελίου ἐκοπίασεν, ἀφειδήσας κινδύνων καὶ θλίψεων· ὅθεν νῦν ἐν οὐρανοῖς, τῆς ἀϊδίου μετέχων εὐφροσύνης, ἡμῖν αἰτεῖται τὰ κρείττονα, ἐν παῤῥησίᾳ χαρίσματα.

Ἦχος δʹ.

Τῆς γνώσεως τῷ θείῳ πυρί, τὴν ψυχὴν καταυγασθείς, ἐν πᾶσι τοῦ Δεσπότου μιμητὴς γέγονας, ὡς ἔννομος Μαθητής, Θωμᾶ Ἀπόστολε. Τῷ γὰρ καλάμῳ τοῦ Σταυροῦ, ἐκ τοῦ βυθοῦ τῆς ἀγνωσίας, εὐσεβῶν ψυχὰς ἐζώγρησας· ὅθεν καὶ τὴν τῶν Ἰνδῶν ἐζοφωμένην διάνοιαν, τῷ τοῦ Θείου Πνεύματος ἀγκίστρῳ ἐσαγήνευσας. Χριστὸν τὸν Θεόν, ἀεὶ δυσώπει, καὶ ἡμᾶς ῥυσθῆναι, τῆς τοῦ ἐχθροῦ ἐζοφωμένης ὄψεως, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Τὸν τῆς ἁλείας βυθὸν καταλιπών, τῷ τοῦ Σταυροῦ καλάμῳ πίστει προσέδραμες, καὶ ἐν Αὐτῷ πάντας ἐζώγρησας, Θωμᾶ Ἀπόστολε. Διὸ καὶ τὴν ἄχραντον πλευρὰν τοῦ Λόγου, τῇ χειρὶ ψηλαφήσας, τῶν πεπαρμένων ἥλων τὰς ἀπειλάς,

τῷ δακτύλῳ κατιδεῖν κατηξίωσαι. Χριστῷ τῷ Θεῷ ἐκτενῶς πρέσβευε ἀεί, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Ἦχος πλ. δ'.

Ἐκ λογχονύχτου πλευρᾶς, θεολογίας ἀπαντλήσας τὰ νάματα, τῇ οἰκουμένῃ Ἀπόστολε Θωμᾶ, τῆς ἀληθοῦς γνώσεως καὶ σοφίας, τὰς μυστικὰς πηγὰς ἐξέβλυσας· ἐκ Σιὼν γὰρ προελθών, ὡς ἥλιος νοητὸς τῆς εἰρήνης, εὐηγγελίσω τοῖς ἐν σκότει καὶ σκιᾷ, τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν· ὅθεν ἐξ ἀπιστίας ταῖς λόγχαις ἐκληρώσω τὴν χάριν, τῆς τοῦ Διδασκάλου ἀναστάσεως. Αὐτῷ οὖν πρέσβευε ἐκτενῶς ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος δ'.
Ἔδωκας σημείωσιν.

Ὥσπερ μαργαρίτην σε, ἐκ τοῦ βυθοῦ ἀνιμήσατο, τῆς τοῦ κόσμου συγχύσεως, Χριστὸς ὁ φιλάνθρωπος, διὰ σοῦ πλουτίσας, τοὺς ἠπορημένους, καὶ τῇ πενίᾳ τῶν δεινῶν, συγκεκραμένους Θωμᾶ Ἀπόστολε· διὸ σε μακαρίζομεν, καὶ τὴν πανέορτον Μνήμην σου, ἐν αἰνέσει δοξάζομεν, εὐσεβῶς σε γεραίροντες.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Ἰνδῶν κατελάμπρυνας, πᾶσαν τὴν γῆν ἱερώτατε, καὶ θεόπτα Ἀπόστολε· φωτίσας γὰρ ἅπαντας, υἱοὺς ἀπειργάσω, φωτὸς καὶ ἡμέρας, τούτους ἐν Πνεύματι σοφέ, εἰδωλικούς τε ναοὺς κατέρραξας, ἀνήγειρας δὲ χάριτι, Θεοῦ εἰς δόξαν καὶ αἴνεσιν, ἐκκλησίας Μακάριε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Χειρὶ φιλοπράγμονι, θείαν πλευρὰν ἐξηρεύνησας, καὶ τῶν ἥλων τὰ τραύματα, ἅπερ

ὁ ἀθάνατος, δι᾽ ἡμᾶς ὑπέστη, καὶ τὴν ἀπιστίαν, μεταβαλὼν χαρμονικῶς, εἰς εὐπιστίαν Θωμᾶ ἐβόησας· Σὺ εἶ Θεὸς καὶ Κύριος, καὶ σὲ δοξάζω φιλάνθρωπε, τὸν τοῖς πάθεσι βλύσαντα, τοῖς πιστοῖς τὴν ἀπάθειαν.

Ἦχος λπ Πα.



νο ο ο ον ται τη γαρ θει α σα γη νη

του Πνε ευ μα α τος λα ους α νει ει ειλ κυ

υ υ υ υ σας εκ βυ θου της α α α πο γνω

ω σε ε ε ε ως ο θεν εκ Σι ων ως πο

τα μος της χα α ρι ι το ο ος ε ε ξη η ηλ

θες τα σα α α ε εκ βλυ υ υ ζων εν θε α

δογ μα α τα ει εις τη ην σου υ υμ πα α σαν

κτι ι ι ι σιν δι ο του Χρι στου τα πα

θη ε ε εκ μι μου ου ου ου με ε ε ε νος

την πλευ ρα αν ε ε ε λο ογ χε ε ευ θης

και εν τω γνο ο ο φω εισ δυ υ υ υ σα ας της


α αφθαρ σι ι ι ι ας αυ τον ι κε ε
ε ε ε ε ε τε ευ ε ε ε ε ε ε
ε ε ε ε ε ε ε λε η θη η η η
ναι αι τα α α ας ψυ χα α α α ας η
η η η μων

Και αι νυ υ υν και α α ει και εις τους αι
αι ω ω ω νας των αι ω ω νων α α α
μην

Θεοτοκίον. Ο ποι η της και λυ τρω της μου
Πα να γνε Χρι στο ος ο ο ο Κυ υ
ρι ι ι ος εκ της σης νη δυ ος προ ε ελ
θων ε με εν δυ σα α με ε νος της πρω ην
κα τα α α ρας τον Α δα α αμ η η λευ θε
ε ρω ω ω σε δι ο ο σοι Πα α α
να γνε ως του θε ου Μη η τρι ι ι τε και Παρ
θε νω ω α λη η θως βο ω μεν α α


σι ι ι γη η η τω ως το ο ο ο χαι αι
ρε του ου Αγ γε ε ε ε λου χαι ρε Δε σποι
να προ στα σι α α α και αι σκε πη και σω τη
ρι α τω ων ψυ χω ω ων η η η η μω ω
ω ω ων

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,

Ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεὺς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## Ἀπολυτίκιον
## τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Θωμᾶ.
### Ἦχος γ΄.




## Δόξα. Ἕτερον.
### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἐκ πλευρᾶς λογχονύχτου δαψιλῶς ἀρυσάμενος, τῆς θεολογίας τὴν χάριν, θεοῤῥήμον Ἀπόστολε, τοῖς ἔθνεσι κατήγγειλας τρανῶς, Κυρίου τὸ σωτήριον Θωμᾶ, καὶ ἐσφράγισας ἐν τέλει μαρτυρικῷ, τὴν θείαν ἀποστολήν σου. Δόξα τῷ σὲ καλέσαντι Χριστῷ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ κηρυχθέντι διὰ σοῦ, κόσμου τοῖς πέρασι.

Και νυν και α ει και εις τους αι ω νας των αι ω νων α μην

Θεοτοκίον. Του Γα βρι ηλ φθεγ ξα με νου σοι Παρ θε νε το χαι αι ρε συν τη φω νη ε σαρ κου το ο των ο ο λων Δε σπο της εν σοι τη α γι α Κι βω τω ως ε φη ο δι και ος Δαυ ιδ ε δει χθης πλα τυ τε ε ρα των ου ρα νων βα στα σα σα τον Κτι στην σου δο ξα τω ε νοι κη σαν τι εν σοι δο ξα τω προ ελ θο ον τι εκ σου δο ξα τω ε λευ θε ρω σαν τι η μας δι α του το κου σου ου ου

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων,

ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

## Τὸν Εὐλογοῦντα.

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η

## Τὸν Δεσπότην καὶ Ἀρχιερέα.

Τον Δε σπο την και Αρ χι ε ε ρε
α η μων Κυ ρι ε φυ λατ τε εις πολ
λα ε τη Δε σπο τα εις πολ λα
ε τη Δε σπο τα ει ει εις πο ολ λα ε τη
Δε ε σπο τα α α

## Ἀπόλυσις.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ πατρός Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.